eul_wid: nfw-aa

*Τυραννίων ὁ Νεώτερος* · Tyrannion the Younger

## Scholia on Homeric Prosody

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

64.(1n) N102—3:... αἵ τε καθ' ὕλην θώων παρδαλίων τε λύκων τ' ἤϊα πέλονται ...

64.(1n) Sch. A h(Ag, Ge, M 1 , P 11 ) ad N 103: ... τὸ δὲ θώων ἔνιοι περισπῶσιν, ἵν' ὁμοτονῇ τῷ θηρῶν καὶ κυνῶν. οὕτω δὲ καὶ Ἀρίσταρχόν φασι προφέρεσθαι. Διοκλῆς δὲ καὶ ὁ Θρᾷξ Διονύσιος (fr. 6 L.) ὡς βαρύνοντα τὴν λέξιν τὸν Ἀρίσταρχον διαβάλλουσιν. Κάσσιος δὲ ἀπολογούμενος ὑπὲρ τῆς βαρυτονήσεώς φησιν ὅτι τὰ μονοσύλλαβα, ὅταν μὲν ἔχῃ τὴν πληθυντικὴν ἐπὶ τῆς τελευταίας συλλαβῆς μετὰ συμφώνου λεγομένην, πάντως καὶ κατὰ τὴν γενικὴν περισπᾶται, οἷον θῆρες, κύνες, χεῖρες, ὅταν δὲ ἀπὸ φωνήεντος ἀρχομένην, πάντως βαρυτονουμένην, οἷον Τρῶες, δμῶες, θῶες, λᾶες. ἀντίκειται δὲ αὐτῷ τὸ παίδων καὶ πάντων. Χαῖρις (fr. 5 B.) δέ φησιν οὐκ εἶναι ἐν δισυλλάβοις ἀναλογίαν.

65.(1n) X 208: ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο (sc. Hector et Achilles) ...

65.(1n) Sch. bT ad X 208: Τὸ τέταρτο ν: Διοκλῆς φησιν ὅτι συμβαίνει τῷ κύκλῳ περιτρέχοντι εἰς τὸν αὐτὸν τόπον παραγίνεσθαι τετράκις, ὅταν τρεῖς συμπληρώσῃ κύκλους. τρεῖς γὰρ ποιήσαντες κύκλους τοῦτον ποιοῦσι τέταρτον.

66.(1n) ξ 131—2: αἶψά κε καὶ σύ, γεραιέ, ἔπος παρατεκτήναιο, εἴ τίς τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δοίη.

66.(1n) Sch. ξ 132: Εἴ τίς το ι: Διοκλῆς ἀθετεῖ. οὔτε γὰρ ἡ Πηνελόπη πάντα ἀμφιέννυσιν, οὔθ' οὕτως πάντως διὰ τοῦτο ψεύδεται, ἀλλὰ καὶ διὰ μόνην πολλάκις τροφήν.

67.(1n) τ 457—8:... ἐπαοιδῇ δ' αἷμα κελαινὸν ἔσχετον ...

67.(1n) Sch. τ 457: Ἐπαοιδῇ δ ' αἷμ α: Διοκλῆς ἐπαοιδὴν παρέδωκε τὴν παρηγορίαν· ἴσχαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ πνεῦμα τοῦ τετρωμένου προσεχὲς ᾖ, καὶ ὥσπερ προσηρτημένον τῷ παρηγοροῦντι, ὡς καὶ δι' ἑτέρων „ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω" (O 401).